eul_wid: adm-aa

*Κύπρια* · The Cypria

# Cypria

*Κύπρια*

**Period:** *Ἀρχαϊκή* Archaic
**Dialect:** *Μικταὶ διάλεκτοι* Mixed Dialects
**Domain:** *Ἔπος* Epic
**Format:** *Ἔμμετρος* Verse

book 1.1 ἦν ὅτε μυρία φῦλα κατὰ χθόνα

book 1.2 πλαζόμεν’ αἰεὶ 〈ἀνθρώπων ἐπίεζε〉 βαρυστέρνου

book 1.3 πλάτος αἴης, Ζεὺς δὲ ἰδὼν ἐλέησε καὶ ἐν

book 1.4 πυκιναῖς

book 1.5 πραπίδεσσι κουφίσαι ἀνθρώπων

book 1.6 παμβώτορα σύνθετο γαῖαν,[ln_5]ῥιπίσσας

book 1.7 πολέμου μεγάλην ἔριν Ἰλιακοῖο, ὄφρα κενώσειεν θανάτωι βάρος. οἱ δ’ ἐνὶ Τροίηι ἥρωες κτείνοντο, Διὸς δ’ ἐτελείετο βουλή.

book 4.1 εἵματα μὲν

book 4.2 χροῒ ἕστο, τά οἱ Χάριτές

book 4.3 τε καὶ Ὧραι

book 4.4 ποίησαν καὶ ἔβαψαν ἐν ἄνθεσιν εἰαρινοῖσιν, οἷα φέρους’ ὧραι, ἔν

book 4.5 τε κρόκωι, ἔν θ’ ὑακίνθωι, ἔν

book 4.6 τε ἴωι θαλέθοντι ῥόδου τ’ ἐνὶ ἄνθεϊ καλῶι[ln_5]ἡδέι νεκταρέωι, ἔν τ’ ἀμβροσίαις καλύκεσσιν αἰθέσι ναρκίσσου καλλιπνόου. ὧδ’ Ἀφροδίτη ὥραις

book 4.7 παντοίαις

book 4.8 τεθυωμένα εἵματα ἕστο.

book 5.1 ἡ δὲ σὺν ἀμφιπόλοισι

book 5.2 φιλομμειδὴς Ἀφροδίτη

book 5.3 πλεξάμεναι

book 5.4 στεφάνους εὐώδεας ἄνθεα

book 5.5 ποίης ἂν κεφαλαῖσιν ἔθεντο θεαὶ λιπαροκρήδεμνοι, Νύμφαι καὶ Χάριτες, ἅμα δὲ χρυσέη Ἀφροδίτη,[ln_5]καλὸν ἀείδουσαι κατ’ ὄρος

book 5.6 πολυπιδάκου Ἴδης.

book 8.1 Κάστωρ μὲν θνητός, θανάτου δέ οἱ αἶσα πέπρωται, αὐτὰρ ὅ γ’ ἀθάνατος

book 8.2

Πολυδεύκης, ὄζος Ἄρηος.

book 9.1 τοὺς δὲ μέτα

book 9.2 τριτάτην Ἑλένην τέκε θαῦμα βροτοῖσι· τήν

book 9.3 ποτε καλλίκομος Νέμεσις

book 9.4 φιλότητι μιγεῖσα Ζηνὶ θεῶν βασιλῆϊ τέκε κρατερῆς ὑπ’ ἀνάγκης· φεῦγε γὰρ οὐδ’ ἔθελεν μιχθήμεναι ἐν

book 9.5 φιλότητι πατρὶ Διὶ Κρονίωνι· ἐτείρετο γὰρ

book 9.6 φρένας αἰδοῖ καὶ νεμέσει· κατὰ γῆν δὲ καὶ ἀτρύγετον μέλαν ὕδωρ

book 9.7 φεῦγε, Ζεὺς δ’ ἐδίωκε—λαβεῖν δ’ ἐλιλαίετο θυμῶι— ἄλλοτε μὲν κατὰ κῦμα

book 9.8 πολυφλοίσβοιο θαλάσσης ἰχθύι εἰδομένην πόντον

book 9.9 πολὺν ἐξοροθύνων, ἄλλοτ’ ἀν’ Ὠκεανὸν

book 9.10 ποταμὸν καὶ πείρατα γαίης, ἄλλοτ’ ἀν’ ἤπειρον

book 9.11 πολυβώλακα· γίγνετο δ’ αἰνὰ θηρί’, ὅσ’ ἤπειρος

book 9.12 πολλὰ τρέφει, ὄφρα φύγοι νιν.

book 15.1 αἶψα δὲ Λυγκεὺς

book 15.2 Τηΰγετον

book 15.3 προσέβαινε

book 15.4 ποσὶν

book 15.5 ταχέεσσι

book 15.6 πεποιθώς. ἀκρότατον δ’ ἀναβὰς διεδέρκετο νῆσον ἅπασαν

book 15.7 Τανταλίδεω Πέλοπος, τάχα δ’ εἴσιδε κύδιμος ἥρως δεινοῖς ὀφθαλμοῖσιν ἔσω κοΐλης δρυὸς ἄμφω, Κάστορά θ’ ἱππόδαμον καὶ ἀεθλοφόρον

book 15.8 Πολυδεύκεα· νύξε δ’ ἄρ’ ἄγχι

book 15.9 στὰς μεγάλην δρῦν 〈––〉

book 16.1 οὐκ ἀπ’ ἐμοῦ σκεδάσεις ὄχλον, ταλαπείριε

book 16.2 πρέσβυ;

book 17.1 οἶνόν

book 17.2 τοι, Μενέλαε, θεοὶ ποίησαν ἄριστον θνητοῖς ἀνθρώποισιν ἀποσκεδάσαι μελεδῶνας.

book 18 Ζῆνα δὲ τόν τ’ ἔρξαντα καὶ ὃς τάδε πάντ’ ἐφύτευσεν οὐκ ἐθέλει νεικεῖν· ἵνα γὰρ δέος, ἔνθα καὶ αἰδώς.

book 25 οὐκ ἐφάμην Ἀχιλῆϊ χολωσέμεν ἄλκιμον ἦτορ ὧδε μάλ’ ἐκπάγλως, ἐπεὶ ἦ μάλα μοι φίλος ἦεν.

book 32.1 τῶι δ’ ὑποκυσαμένη τέκε Γοργόνας, αἰνὰ πέλωρα, αἳ Σαρπηδόνα ναῖον ἐν ὠκεανῶι βαθυδίνηι νῆσον

book 32.2 πετρήεσσαν.

book 33.1 νήπιος, ὃς

book 33.2 πατέρα κτείνας

book 33.3 παῖδας καταλείπει.

book 38 φύρετο δ’ ἄλφιτα

book 40.1 ἔπλεον εἰς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 40.2 Σκῦρον Δολοπηίδα

Eulogikon public reading copy · View original HTML at eulogikon.org